Ακαδημία Αθηνών / Academy of Athens

**πολύλογος.** Πολύλογος, loquacious, Δημόκριτος 44 *ἀληθόμυθον χρὴ εἶναι, οὐ π ο λ ύ λ ο γ ο ν.* Πρβλ. *πολυλογεῖν.*

**πολυμαθής.** Πολυμαθής/πολύξερος, much learned/erudite, Δημόκριτος 64 *πολλοὶ π ο λ υ μ α θ έ ε ς νοῦν οὐκ ἔχουσιν.* Πρβλ. *πολυμαθίη.*

**πολυμαθίη.** Πολυμάθεια/πολυγνωσία, much learning/erudition, Ἡράκλειτος 40 *π ο λ υ μ α θ ί η νόον ἔχειν οὐ διδάσκει* 129 *Πυθαγόρης Μνησάρχου ἱστορίην ἤσκησεν ἀνθρώπων μάλιστα πάντων καὶ ἐκλεξάμενος ταύτας τὰς συγγραφὰς ἐποιήσατο ἑαυτοῦ σοφίην, π ο λ υ μ α θ ί η ν, κακοτεχνίην* Δημόκριτος 65 *πολυνοΐην, οὐ π ο λ υ μ α θ ί η ν ἀσκέειν χρὴ* Ἀνάξαρχος 1 *π ο λ υ μ α θ ί η κάρτα μὲν ὠφελεῖ, κάρτα δὲ βλάπτει τὸν ἔχοντα.* Πρβλ. *πολυμαθής.*

**πολυμιγής.** Πολύμικτος, much mixed, Φιλόλαος 10 *ἔστι γὰρ ἁρμονία π ο λ υ μ ι γ έ ω ν ἕνωσις καὶ δίχα φρονεόντων συμφρόνησις.*

**πολυμνήστη.** Περιζήτητη/(πολυ)παράκλητη, much sought after/much beseeched, Ἐμπεδοκλῆς 3.3 *καὶ σέ, π ο λ υ μ ν ή σ τ η λευκώλενε παρθένε Μοῦσα, ἄντομαι.*

**πολυνοΐη.** Βαθύνοια, deep thought/sagacity, Δημόκριτος 65 *π ο λ υ ν ο ΐ η ν, οὐ πολυμαθίην ἀσκέειν χρή.*

**πολύοζος.** Πολύκλαδος, with many branches, Διογένης 6.14 *ἀπὸ δὲ τούτων (sc. τῶν φλεβῶν) λεπταὶ καὶ π ο λ ύ ο ζ ο ι ἐπὶ τὴν ἄλλην χεῖρα καὶ δακτύλους.*

**πολυπαθής.** Πολύπαθος, much suffering, Δημόκριτος 149 *ποικίλον τι καὶ π ο λ υ π α θ ὲ ς κακῶν ταμιεῖον.*

**πολύπειρος.** Πολύπειρος, much experienced, Παρμενίδης 7.3 *ἀλλὰ σὺ τῆσδ' ἀφ' ὁδοῦ διζήσιος εἶργε νόημα μηδέ σ' ἔθος π ο λ ύ π ε ι ρ ο ν ὁδὸν κατὰ τήνδε βιάσθω.*

**πολύπλαγκτος.** Πολυπλάνητος, much wandering, Παρμενίδης 16.1 *ὡς γὰρ ἑκάστοτ' ἔχει κρᾶσις μελέων π ο λ υ π λ ά γ κ τ ω ν, τὼς νόος ἀνθρώποισι παρίσταται.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ